προσήλυτοι γὰρ ἦτε ἐν γῇ Αἰγύπτῳ. [20]Κύριον τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις, 20
καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ· [21]οὗτος καύχημά σου καὶ οὗτος θεός 21
σου, ὅστις ἐποίησεν ἐν σοὶ τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα ἃ ἴδοσαν οἱ ὀφθαλμοί σου. [22]ἐν 22
ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον, νυνὶ δὲ ἐποίησέν σε Κύριος ὁ θεός
σου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει. [1]Καὶ ἀγαπήσεις Κύριον τὸν θεόν σου, καὶ 1 XI
φυλάξῃ τὰ φυλάγματα αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ πάσας τὰς ἡμέρας.

14 κς ο θς B*uid (κυ του θυ B^ab)  20 ιαυτου F*

AFGMNOa ik-b𝔄𝔅𝔈𝔏𝔭𝔓

**14** ιδου] pr ειπεν μωσης προς τους υιους ισραηλ $d_2$: pr και ειπε μωσης k | om και ο ουρανος w Cyr | η γη] pr και *b*ew𝔄𝔈𝔓 Thdt: om 𝔏 | om παντα v𝔏 | εστιν] εισιν u: εσται e | αυτη] a ex ε o^a: αυτοις Θegns(mg)v$za_2d_2$𝔄𝔏 Thdt

**15** πλην] *hoc tantu*ᵐ 𝔏 | τους πατερας] του σπερματος m: om τους *b** | υμων] ras (1) post υ m: ημων belns(mg)$d_2$: σου dpt | προειλατο κυριος] κς προειλετο dt | προειλατο] προειλετο afgh^b npqs(mg)$d_2$: προσειλατο l*mu: ⟨προσειλετο 77⟩ | κυριος—εξελεξατο bis scr e | κυριος] *Dn̄* 𝔏: om $a_2$ | om το $cud_2$*(uid) | μετ αυτους] pr *et* 𝔓: bis scr n*: μετ αυτων w*(uid) | παρα—εθνη post ταυτην bw | παρα bis scr n* | κατα—(16) σκληρυνειτε] *ut hodie circumcidatis duritatem cordis uestri ne induretis collum uestrum amplius* 𝔓

**16** και περιτεμεισθε] *ut circumducatis* 𝔏 | περιτεμεισθε] περιτεμησθαι o: περιτμηθητε Barn | σκληροκαρδιαν] ακροβυστιαν της καρδιας dpt Chr(uid) | om και 2°—υμων 2° $a_2$ | om υμων 2° Just | ου σκληρυνειτε] *ne indurareti amplius* 𝔏 | om ου w | σκληρυνειτε Bx Barn] σκληρυνετε ετι hl*: +ετι AFGMNΘ^lb rell 𝔄𝔅𝔈 Just Clem Thdt

**17** ο 2°—κυριων] των κυριων και θεος των θεων Clem-codunic | om ο 2°—ουτος 𝔏 | om ο θεος 1° b' | ο 2°] ras (1) x | υμων] ημων b'fnp𝔅^v: σου Just½ | om ουτος—θεων Just½ | οιτος] ουτως c: *ipse* 𝔅^lw: *is* 𝔈𝔓 | θεος 2°—κυριων] κυριος των κυριων και θεος των θεων Clem-ed | θεος 2°] pr ο N | om των 1° h | om και 1° 𝔏 | κυριος των bis scr w* | κυριων] κυριευοντων bw | ο θεος 2°] *Dn̄s* 𝔏: om ο Just | om ο 4° ⟨132⟩ Just | και 2°—φοβερος] ο δυνατος ο κραταιος Phil-cod: ο κραταιος Phil-codd: και κραταιος Phil-ed | om και 2° Adkpt𝔅^lw | ⟨ισχυρος—φοβερος] ο φοβερος και ισχυρος 32⟩ | ισχυρος] pr ο AF*GNdik o–rtxy | ο φοβερος] *torrens* 𝔏: om ο Θbd–hmnps–$wza_2d_2$ Just | οστις] ως τις fn: ος Phil-cod | θαυμαζει] θαυμασει x: *sumet* 𝔏 | ⟨προσωπον] +ανθρωπου 16.32.46.73.77⟩ | ουδ ου B*b*dm Phil-codd] ουδε AFGMNΘ^ba rell Phil-ed Just | μη λαβη] λαμβανει Phil-cod | δωρα bw𝔏

**18** ποιων] ποιειν r: *et facit* 𝔄-codd 𝔈 | κρισει s(txt) | om προσηλυτω—(19) αιγυπτω k | προσηλυτω και ορφανω] *orphano et peregrino* 𝔅 | προσηλυτω και sub ÷ G | προσηλυτω] pr του l*(uid): προσηλυτου *b*(uid): προσηλυτων gh*: προσηλυτον w | om και 1° o | χηραν w | om και 3° 𝔄𝔅^l | αγαπα] αγαπαν A*b*cw$a_2$: αγαπων hu | προσηλυτον] πλησιον A | δουναι—(19) προσηλυτον] bis scr c(αυτον): om dmp | δουναι] pr του F: pr ωστε h | αυτον c | ιματιον] +περιβαλεσθαι bw

**19** om totum comma $d_2$ | αγαπησετε] αγαπησητε b'ho: αγαπησατε f𝔈: αγαπησεις gns(mg)𝔏 | προσηλυτοι γαρ] *quia et uos proselyti* 𝔄𝔈 | ητε] +*uos ipsi* 𝔅 | γη] ⟨γη 18⟩: om c | αιγυπτου GΘfqt

**20** (cf Deut vi 13) ⟨κυριον] και 30⟩ | φοβηθησῃ] προσκυνησεις A | om και 1°—κολληθησῃ n | αυτω] +μονω AΘdefi^a¹p rstvz𝔈𝔏 | λατρευσεις] λατρευσης $ia_2$: +μονω c | κολληθησῃ] +και αυτω λατρευσεις l | τω] pr επι AFMabfhi^a¹klmrwy$b_2$ 𝔓(uid) | om ομῃ $a_2$

**21** ουτος 1°] pr οτι $a_2$: αυτος AFGMNcfi–moqrs(txt)x$yb_2$ $d_2$: και αυτος abw: *quod is* 𝔄𝔈: *is enim* 𝔓 | αυχημα Phil(uid) | om και 1° 𝔏 | ουτος 2°] αυτος AFGMNabcefi–moqrs(mg)v–$zb_2$ 𝔄(uid)𝔅^lw𝔈(uid)𝔓(uid) | θεος] pr ο Gceuv^a$xa_2$ | οστις] ος m | εν σοι] om 𝔓: om εν AFMΘbd–ilmnpqstvwx$zb_2d_2$𝔈 | τα μεγαλα] τα μεγαλεια b(om τα)w: *magnalia* 𝔏 | τα 2°] sub ※ G: om de | om ταυτα 𝔄 | ειδον A(ιδ-)FGMΘc–gi–prstvx$yzb_2d_2$

**22** cf Acta vii 14 15 εν ψυχαις εβδομηκοντα κατεβη δε (al και κατεβη) ιακωβ εις αιγυπτον || εν εβδομηκοντα ψυχαις] οε' ψυχαι m: ψυχαις οε' n | εβδομηκοντα] +και πεντε a Cyr½: +πεντε AFNcfh–lqrsuvy$zb_2$𝔅𝔏 Cyr½ | αιγυπτον] +*quod a principio in Aegypto uenerant* 𝔏 | νυν Gbfiv* | εποιησεν] pr *ecce* 𝔄 | σε] σοι k | om σου 2° Nhmr | τω πληθει] *plenitudine* 𝔏

**XI 1** om totum comma m | om και 1° d𝔅^lv | αγαπησης bfa$_2$* | ⟨σου] +εξ ολης της ψυχης σου 18⟩ | φυλαξεις beuw | τα φυλαγματα] ⟨τα προσταγματα 16⟩: *mandata* 𝔅^v𝔏 | αυτου 1°] +και τα προσταγματα αυτου Θbgp(om αυτου)tw | και 3°—αυτου 2° BGemoux] pr *et mandata eius* 𝔅^l: post αυτου 3° 𝔅^v: και τας εντολας αυτου N: και δικαιωματα και εντολας p: *et iustitias et praecepta* 𝔏: +και τας εντολας αυτου AFMΘ rell 𝔄𝔅^w𝔈𝔓 | και 4°—αυτου 3°] om a: om τας p: +και τας εντολας αυτου Goux | ημερας] +της ζωης σου f𝔄𝔈

14 η—αυτη] ο' ⲗ η γη και παντα οσα εστιν εν αυτη v
16 την σκληροκαρδιαν υμων] α' την ακροβυστιαν καρδιας υμων *b* | σκληροκαρδιαν] α' ακροβυστιαν καρδιας M
17 θαυμαζει] α' αρει M | ου μη λαβη] θ' ου ληψεται *b* | δωρον] α' δωροκοπιαν M
21 καυχημα σου] α' υμνησις σου *b* | καυχημα] α' υμνησις M | ενδοξα] α' επιφοβα M

2 [2]καὶ γνώσεσθε σήμερον ὅτι οὐχὶ τὰ παιδία ὑμῶν, ὅσοι οὐκ οἴδασιν οὐδὲ ἴδοσαν τὴν παιδίαν B
Κυρίου τοῦ θεοῦ σου καὶ τὰ μεγαλεῖα αὐτοῦ καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν
3 ὑψηλόν, [3]καὶ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ὅσα ἐποίησεν ἐν μέσῳ Αἰγύπτου Φαραὼ
4 βασιλεῖ Αἰγύπτου καὶ πάσῃ τῇ γῇ αὐτοῦ, [4]καὶ ὅσα ἐποίησεν τὴν δύναμιν τῶν Αἰγυπτίων, τὰ
ἅρματα αὐτῶν καὶ τὴν ἵππον αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν, ὡς ἐπέκλυσεν τὸ ὕδωρ τῆς θαλάσσης
τῆς ἐρυθρᾶς ἐπὶ προσώπου αὐτῶν, καταδιωκόντων αὐτῶν ἐκ τῶν ὀπίσω ὑμῶν, καὶ ἀπώλεσεν
5 αὐτοὺς Κύριος ἕως τῆς σήμερον ἡμέρας, [5]καὶ ὅσα ἐποίησεν ἡμῖν ἐν τῇ ἐρήμῳ ἕως ἤλθετε εἰς τὸν
6 τόπον τοῦτον, [6]καὶ ὅσα ἐποίησεν τῷ Δαθὰν καὶ Ἀβειρὼν υἱοῖς Ἐλιὰβ υἱοῦ Ῥουβήν, οὓς ἀνοίξασα
ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πᾶσαν
7 αὐτῶν τὴν ὑπόστασιν τὴν μετ᾽ αὐτῶν ἐν μέσῳ παντὸς Ἰσραήλ· [7]ὅτι οἱ ὀφθαλμοὶ ὑμῶν ἑώρακαν
8 πάντα τὰ ἔργα Κυρίου ὅσα ἐποίησεν ὑμῖν σήμερον. [8]καὶ φυλάξεσθε πάσας τὰς ἐντολὰς αὐτοῦ
ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε, καὶ εἰσελθόντες κληρονομήσετε
9 τὴν γῆν εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν· [9]ἵνα μακροημερεύσητε

XI 3 εμμεσω AF*(uid) 6 εμμεσω AF*
8 διαβεννετε A 9 μακροημερευσηται A

AFGMNΘa–ik–b₂𝔄𝔅𝔈𝔏𝔉𝔍

2 οτι] ως m | ουχι] ου h | τα παιδια υμων] pr δια y: *propter filios tuos* 𝔄: *uos pueri* 𝔅 | ουκ—ιδοσαν] *uiderunt et nouerunt* 𝔈 | ουδε ιδοσαν] συ δε ειδες q(δες ex corr): om n | ουτε Θg | ιδοσαν] ειδωσιν b′: ειδον AFGMNΘacefgi–moprstv(txt)xyzb₂: οιδον d: ⟨ειδεν 18⟩ | παιδιαν] φωνην M(mg)hs(mg)v(mg) | om κυριου bw | σου] *eorum* 𝔅ᵛ | μεγαλεια αυτου] εργα αυτου τα μεγαλα h | om και 3° 𝔄 | χειρα] + αυτου G(sub ✠)acknoptx𝔅 | om και 4° a₂* | βραχιονα] + αυτου G(sub ✠)acdkoptx𝔅

3 om και 1° 𝔄-ed | αυτου 1°] om dp: + *et opera eius* 𝔅ᵛ | om τα 2° mp | τερατα] sub θ′ v: εργα Gcos(mg)xa₂ 𝔄-codd 𝔉𝔍 | om αυτου 2° Fm𝔄-ed | οσα] α Femsuza₂ | εποιει dp | αιγυπτου 1°] αιγυπτω l | om φαραω—αυτου 3° m | om φαραω βασιλει αιγυπτου ls | φαραω] pr καιᵃ𝔈 | om βασιλει αιγυπτου p | βασιλει] βασιλεως Abkrw: om d | αιγυπτου 2°] ⟨αιγυπτω 73⟩: om kn | om και 3°—αυτου 3° bw | om και 3° x | om παση—(4) εποιησεν d | παση] pr εν ⟨118⟩ 𝔏 | ⟨αυτου 3°] αιγυπτου 118⟩

4 om και 1° am | οσα] *qualem* 𝔏 | εποιησεν] εποιει p: + κς a | την δυναμιν 1°] τη δυναμει A¹ᵗ(-μι)Θbdfghnptw | τα αρματα] pr και a𝔅ʷ𝔈: την ιππον Gcdoptx | αυτων 1°] *illius* 𝔏: om n | την ιππον] τα αρματα Gcdoptx | αυτων 2°] αυτου c*f𝔏 | και 3°—αυτων 3° Bq] om AFGMNΘ rell 𝔄𝔅𝔈𝔏𝔉𝔍 | ως] pr και bw | επεκλυσεν το υδωρ] ܒܡܝܐ *in aqua* 𝔉𝔍 | επεκλυσεν] επεκαλυψεν Gchklmv(mg)z(mg)b₂: εκαλυψε s(txt): *cooperuit* 𝔅𝔈: επεκαλυφθη bw: ενεκαυσεν a₂: *delusit* 𝔏 | om της θαλασσης b₂* | θαλασσης της ερυθρας] ερυθρας θαλασσης a₂ | om της ερυθρας esvz | προσωπον Θdehlmop(uid)stvz | καταδιωκοντων αυτων] *ubi persecuti sunt* 𝔉𝔍 | αυτων 5°] αυτους x: + ras (5) z | ⟨om εκ των 73⟩ | υμων] ημων ae*n𝔄: αυτων a₂ | και απωλεσεν] *perdit* 𝔍 (sed pro ܐܒܕܘܗܝ leg ܐܦܩܘܗܝ): και απεκτεινεν y: om και 𝔄 | κυριος] om lm: + ο θς AFMNafhikqruyb₂: + *Deus uester* 𝔈 | σημερον ημερας] ημερας της σημερον Gcox: ημερας ταυτης y | ημερας] pr ras (3) l

5 om και 1° m | ημιν BGcly] pr εν q: υμιν AFMNΘ rell 𝔄𝔅𝔈𝔏𝔉𝔍 | εως] ως A: + ου b′m | ηλθετε] ηλθατε Neh*v(txt) zᵃ¹: εισηλθετε A | τον bis scr i

6 εποιησεν] ησε int lin i: εποιει dp | τω δαθαν] *Datha* 𝔏 | αβειρων BAG*esza₂] αβηρων np: αβειρωμ Gᵇ: τω αβηρων bd motuv: pr τω FMNΘl(ει ex corr) rell | υιοις] pr τοις m: υιους bew: *filius* 𝔏: + λευι c* | ⟨ελιαμ 16.130⟩ | υιου] υιοις dpt: *filius* 𝔏 | ρουβην] ρουβιν irtx: ρουβημ hᵇ: ρουβειμ c–flmp: ραβιν s | ους] ως c | ανοιξας dp(uid) | αυτων 1°] om d: + και πασαν την συναγωγην αυτων *b*ᵇk | om και 4°—αυτων 2° n𝔏 | om αυτων 2° m | αυτων 3°—αυτων 4°] *illam substantiam quam habebant* 𝔏: *substantiam eorum magnam* 𝔉𝔍 | αυτων 3°] sub ÷ G: post υποστασιν af𝔄: αυτου q*: om dghiᵃ¹knr | την 1° bis scr c | υποστασιν] μετασταση a₂ | την μετ αυτων] om fm𝔅ᵇʷ: om την 𝔄 | μετ] κατ a: υπ a₂ | αυτων 4°] + ουσαν bw | παντος ισραηλ] *pala~ omnem Istrahel* 𝔏 | παντος] υιων a₂: om b′

7 om οτι esuvza₂𝔅ᵇᵛ | ημων eq | εωρακαν Bm𝔄𝔅𝔈𝔏𝔉𝔍 εορουν n: εωρων AFGMNΘ rell | τα—εποιησεν] *opera magna quae fecit Dominus* 𝔈 | κυριου B] τα μεγαλα εκεινα d: + τα μεγαλα εκεινα pt: + τα μεγαλα AFGMNΘ rell 𝔄𝔅𝔏𝔉𝔍 | om οσα—(8) σημερον m | om οσα—σημερον k | οσα] α esuvza₂ | εποιει dp | υμιν σημερον] pr εν Θag: sub ÷ G: om 𝔈 | υμιν] *in uobis* 𝔄-ed 𝔏: ημιν *bio*: εν ημιν q: ημιν(om nᵃ) εν ημιν n: + *Dominus* 𝔅ᵇ | σημερον] pr εως o𝔄𝔍

8 om και 1° k𝔅ᵛ | φυλαξεσθε] φυλαξασθε MΘcflq: φυλασσεσθε N: *seruate* 𝔄𝔈𝔉: + ποιειν bw | om πασας co | αυτου sub ÷ G | οσας] οσα Nei*wa₂: as co | εγω] post εντελλομαι e: ⟨om 71⟩ | εντελλομαι] εντελλωμαι n: εντελωμαι c | σοι] υμιν AFGM(txt)cefh–loqrsvxyzb₂𝔄𝔍: εν υμιν a | σημερον] + ποιειν bw | και πολυπλασιασθητε] sub ÷ G: ⟨και πολλαπλασιασθητε 32⟩ | και 2°] ινα o | εισελθοντες Bbcw] εισελθητε M(txt)m: om b₂: εισελθητε και AFGM(mg)NΘ rell (-θετε do) 𝔏(uid) | κληρονομησετε BFᵇxa₂𝔏] κληρονομησατε bc*w: om M(txt)m: κληρονομησητε AF*GM(mg)NΘcᵃ¹ rell 𝔄(uid)𝔅ᵛ(uid) | την] pr υιν εις m | om εις hq | διαβαινετε] *transibitis* 𝔅𝔏 | τον ιορδανην] sub ÷ G: om km | om εκει bmw𝔄(uid) | κληρονομησαι] κληρονομειν bw: ⟨κληρονομησετε 77: κληρονομησητε 16.130⟩ | αυτον e

9 ινα] pr και dpt | επι της γης bis scr p* | ης] ως m | om

XI 2 ουκ—ιδοσαν] ουκ επισταντα ουδε τεθεαντα k
3 τερατα] ο′ σ′ εργα α′ ποιηματα v
4 της 1°—ερυθρας] ο′ σ′ της θαλασσης της ερυθρας vz(om της 2°): α′ θ′ θαλασσης ερυθρας v
7 οτι—υμων] ο′ οτι οι οφθαλμοι υμων v 8 ζητε] α′ σ′ ισχυσητε *b*

B ἐπὶ τῆς γῆς ἧς ὤμοσεν Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς καὶ τῷ σπέρματι αὐτῶν μετ'
αὐτούς, γῆν ῥέουσαν γάλα καὶ μέλι. [10]ἔστιν γὰρ ἡ γῆ εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν, 10
οὐχ ὥσπερ γῆ Αἰγύπτου ἐστίν, ὅθεν ἐκπεπόρευσθε ἐκεῖθεν, ὅταν σπείρωσιν τὸν σπόρον καὶ
ποτίζωσιν τοῖς ποσὶν αὐτῶν ὡσεὶ κῆπον λαχανίας· [11]ἡ δὲ γῆ εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι 11
αὐτὴν γῆ ὀρεινὴ καὶ πεδινή, ἐκ τοῦ ὑετοῦ τοῦ οὐρανοῦ πίεται ὕδωρ· [12]γῆ ἣν Κύριος ὁ θεός σου 12
ἐπισκοπεῖται αὐτήν, διὰ παντὸς οἱ ὀφθαλμοὶ Κυρίου τοῦ θεοῦ σου ἐπ' αὐτῆς ἀπ' ἀρχῆς τοῦ
ἐνιαυτοῦ καὶ ἕως συντελείας τοῦ ἐνιαυτοῦ.

[13]Ἐὰν δὲ ἀκοῇ εἰσακούσητε πάσας τὰς ἐντολὰς ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν 13
Κύριον τὸν θεόν σου καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,
[14]καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν πρόιμον καὶ ὄψιμον, καὶ εἰσοίσεις τὸν σῖτόν σου καὶ 14
τὸν οἶνόν σου καὶ τὸ ἔλαιόν σου· [15]καὶ δώσει χορτάσματα ἐν τοῖς ἀγροῖς σου τοῖς κτήνεσίν σου. 15
[16]καὶ φαγὼν καὶ ἐμπλησθεὶς (16)πρόσεχε σεαυτῷ μὴ πλατυνθῇ ἡ καρδία σου, καὶ παραβῆτε καὶ 16

10 σπειρωσι AF | ποτιζωσι AF
11 ορινη AF | παιδινη A
12 επισκοπειτε A | συντελιας B*(-λει- Bab)
14 πρωιμον Bb

AFGMNΘa-ik-b2𝔄𝔅𝔈𝔏r{}𝔍l

τοις—(10) γαρ d | ημων q | om δουναι—αυτους m | το σπερμα a | μετ αυτους] pr μετ αυτων *b*: ου ex corr q(uid): sub ÷ G: om k | αυτους] αυτοις g | γην] pr *dare eis* 𝔏: την ya2* | ρεουσα cfn | μελι και γαλα m | μεγαλι M*

10 εστιν 1°—αυτην] και m | εστιν γαρ] post οιχ 𝔅(om γαρ 𝔅v): *quia* 𝔄 | εστιν 1°] εστη w | om η e | γη 1°] +εκεινη d | εις—αυτην] *quam hereditabitis* 𝔅lw: om d | εις ην ex corr ra | εισπορευη BΘbgw𝔈 εισπορευεσθε yb2𝔄: *intrabitis* 𝔅v: *intraturi estis* 𝔄𝔏: πορευει n: εισπορευεσθαι υμεις A: υμεις πορευεσθε p: υμεις εισπορευεσθε F(-θαι F*)GMN rell {}𝔍: ⟨συ εισπορευση 32⟩ | om εκει u𝔄(uid) | ωσπερ] ως n: ος g | γη 2° B] η d: pr η AFGMNΘ rell | om εστιν 2° ANhB | οθεν εκπεπορευσθε εκειθεν] οθεν εκειθεν εκπορεβεσθε g: om d | οθεν] +και e: +ras (3) f | εκπεπορευσθε BGNx] εξεπορευθητε q: *existi* 𝔈𝔏: εκπορευεσθε A(-θαι)FMΘ rell 𝔅w | οταν] pr οι cgn: pr *quam* 𝔄-codd 𝔈f{}𝔍 | σπορον] +σου G(sub ✻)cx | om και 𝔈{}𝔍 | ποτιζωσιν] ποτισωσιν N: ποτιζουσιν koq: *aquam* 𝔏 | om τοις ποσιν αυτων n | αυτων B𝔅] σου G(sub ✻)x: om AFMNΘ rell 𝔄𝔏{}𝔍 | ωσει] bis scr *b**: ως Flmub2 | κηπον] κηπων l: κηπου f | λαχανιας] λαχανων ya2: λαχανοις l

11 η δε γη] *nam terra illa* 𝔏 | η δε] αλλ η d | om εις ma2 | εισπορευη BΘab'hl] εισπορευεσθε gn: *intrabitis* 𝔏: υμεις εισπορευεσθε G(υμεις sub ✻)coptx𝔄{}𝔍: υμεις πορευεσθε d: *intrabis* 𝔅: ⟨συ εισπορευση 32⟩: συ εκπορευη f: pr συ AFMN rell | om εκει κληρονομησαι αυτην d𝔏 | κληρονομησαι] κληρονομειν w*a2: κατακληρονομησαι n | om αυτην 𝔄 | γη 2°—πεδινη] pr γη ορην c*: την ορινην και πεδινην N | του υετου] om t*: om του ta | υετου του ουρανου] υετου τ sup ras aa: υετου bis scr *b*: ουρανιου υετου f

12 γη] pr η b': γην i*𝔏 | ην] η m | κυριος—αυτην] επισκοπειται κς και m | om σου 1° esvz𝔏 | επισκοπειται] ⟨pr διδωσι σοι και 18⟩: επισκοπιειται Θ: επισκοπησαι w*: επισκοπη f: *conseruabit* 𝔏 | αυτην] *te* 𝔄-codd | οι οφθαλμοι] pr *et* 𝔈𝔏: τοις οφθαλμοις l | του θεου σου] om c: om σου ekmsvz | αυτης] αυτοις n*(uid): αυτην f: +δια παντος c | ⟨om ενιαυτου και 130*⟩ | om και—ενιαυτου 2° w | om και emsvz𝔄𝔅𝔈𝔏{}𝔍 | συντελειας] pr της AFMNafi-mquy: +ras (2—3) r | ⟨om του ενιαυτου 2° 16.77⟩

13 εαν δε] και εαν f | δε] *enim* 𝔅l: om h | εισακουσητε] ακουσητε AFMNΘabdefh-nqruwy: ακουση ⟨16⟩ 𝔄 | om πασας b'*b**w | εντολας B𝔅l𝔈] +μου x: +αυτου AFGMNΘ rell 𝔄 𝔅wv𝔏{}𝔍 Cyr | ας BG] οσα lo: οσας AFMNΘ rell (αυτου οσας sub λ v) Cyr | εγω post εντελλομαι e | εντελλομαι] post σοι a2: εντελλωμε n: εντελωμε c | σοι] υμιν esvz𝔅lw𝔈 | om αγαπαν—(14) και 1° m | κυριον ex corr q | σου 1°] *uestrum* 𝔅lw | om και λατρευειν αυτω Cyr-codd | om και 1° y | εξ 1°—σου 3°] *in toto corde tuo et in tota anima tua* 𝔈 | της 1°] sub ÷ G(uid): om o | om καρδιας—της 2° Ndu* | καρδιας] διανοιας Cyr-cod | om και 2°—σου 3° s | της 2°] sub ÷ G: om no | σου 3°] om Ay: +και εξ ολης της δυναμεως σου bw

14 om και 1° 𝔄-ed 𝔅{}𝔍 | δωσει] δωση c: δωσεις Θ: δωσω x: δωη σοι m: +σοι {}𝔍 Cyr | τη—ωραν] *secundum dies eius super terram uestram* 𝔈 | τη γη] της γης Ahk-nqsuva?y 𝔄-codd Cyr: επι της γης bw | σου 1°] υμων Gc(ημ- c*)ox𝔄𝔏 | καθ—οψιμον] *temporibus matutinis et serotinis* 𝔏 | καθ ωραν] κατα καιρον Θbdgnpqtw: +εν τω καιρω αυτου esuvza2𝔄(uid) {}𝔍 | εισοισεις] εισοισης i: εισοισει F1Nmn: εισοιση g: οισεις l: συναξεις Gbk(mg)oquwxz(mg)a2𝔄𝔅{}𝔍: συναξης c | σιτον] σπορον u | om σου 2° w | om και 4°—σου 3° b' | om και 5°—σου 4° y | το] τον b'dgnu | ελαιον] ελαιος m: ελεος o

15 δωσει] δωσεις AFGMacefh-lorsuvxyzb2𝔏 Cyr: δωη σοι m | χορτασματα] χορτον bw𝔈(uid){}𝔍(uid): *saturitates* 𝔏 | εν—σου 2°] τοις κτηνεσι σου τοις εν τω αγρω σου dpt: *in agris pecorum tuorum* 𝔅v | εν—σου 1°] ν τοι sup ras (5) r: *in agro tuo* 𝔅l𝔈: om q | om εν F* | τοις 1° bis scr F* | τοις 2°] pr και εν Aa2 | om σου 2° c

16 φαγων και εμπλησθεις] *edes et repleberis* 𝔏 | προσεχε] προσε f*: προσεχετε bw𝔄{}𝔍 Spec | σεαυτω] αυτω f: εαυτοις bw𝔄{}𝔍: om Spec | μη] *ne forte* Spec: +πωτε c | πλατυνθη η καρδια] *segnia fiant corda* 𝔄-ed | πλατυνθη] πλανηθη ua2𝔅

11 η—αυτην] σ' η δε γη ην διαβαινεις κληρονομησαι αυτην z | η—εκει] ο' η δε γη εις ην εισπορευεσθε εκει α' και η γη ου υμεις διερχεσθε εκεισε σ' η δε γη ην διαβαινεις θ' και η γη ην υμεις διαβαινετε εκει v: α' και η γη ην υμεις διερχεσθε εκεισε z

12 επισκοπειται αυτην] α' θ' εκζητει αυτην *b* | επισκοπειται] α' εκζητει M | δια παντος] α' ενδελεχως M

13 ας—σοι] ο' οσας (ex οσα uid) εγω εντελλομαι σοι v

14 και 1°—σου 1°] σ' ... δωσω τον υετον της γης υμων θ' και δωσω τον υετον τη γη υμων v | τη γη σου] ο' τη γη υμων α' γη υμων v | καθ—οψιμον] ο' καθ ωραν πρωιμον και οψιμον v | καθ ωραν] α' εν καιρω οι λ κατα καιρον M | και εισοισεις] ο' λ και συναξεις v

15 χορτασματα] α' χλοην M

16 πλατυνθη] θ' θελχθη σ' απατηθη *b*

17 λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς· 17καὶ θυμωθεὶς ὀργῇ Κύριος ἐφ' ὑμῖν καὶ B
συνσχῇ τὸν οὐρανόν, καὶ οὐκ ἔσται ὁ ὑετὸς καὶ ἡ γῆ οὐ δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἀπολεῖσθε
18 ἐν τάχει ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς ἧς ἔδωκεν ὁ κύριος ὑμῖν. 18καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα
εἰς τὴν καρδίαν ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν, καὶ ἀφάψετε αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρὸς
19 ὑμῶν, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν ὑμῶν· 19καὶ διδάξετε αὐτὰ τὰ τέκνα ὑμῶν λαλεῖν ἐν
αὐτοῖς, καθημένου σου ἐν οἴκῳ καὶ πορευομένου σου ἐν ὁδῷ, καὶ καθεύδοντός σου καὶ διανισταμένου
20 σου· 20καὶ γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν, 21ἵνα μακροημε-
21 ρεύσητε, καὶ αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν, ἐπὶ τῆς γῆς ἧς ὤμοσεν Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι
22 αὐτοῖς, καθὼς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.¶ 22καὶ ἔσται ἐὰν ἀκοῇ ἀκούσητε πάσας τὰς ¶ h
ἐντολὰς ταύτας ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν, ἀγαπᾶν Κύριον τὸν θεὸν ἡμῶν καὶ
23 †πορεύεσθαι† ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ προσκολλᾶσθαι αὐτῷ· 23καὶ ἐκβαλεῖ Κύριος πάντα

17 συσχη AF | ταχι B*(-χει B^ab) 20 φλειας AF* 22 πορευεσθε B

AFGMNΘa g(h)ik b 𝔄𝔅𝔈𝔊{}𝔍

Spec | σου] υμων bdptuwz(mg)a₂𝔄𝔈{}𝔍 Spec | παραβητε] παραβης m: *recedatis a Domino* Spec | λατρευσητε] λατρευσετε a₂: λατρευσης m | om και προσκυνησητε αυτοις m𝔍 | προσκυνησητε] προσκυνησετε *b*: προσκυνησεις q: προσκυνησεις c

17 θυμωθεις οργη] *furia irascatur* 𝔊 | θυμωθεις] θυμωθης ci: θυμωθη u𝔈(uid): θυμω m | οργη BFamuz𝔅𝔈(uid)] οργισθη AGMNΘ rell 𝔄{}𝔍 | om εφ υμιν m | υμιν 1°] υμας fi*uy: ημας l | συνσχη] *continebit* 𝔊 | εσται ο υετος] *dabit pluuiam* 𝔈^c𝔊 | ο 1° B{}𝔍(uid)] om AFGMNΘ omn | τον καρπον] τα εκφορια Θgn | απολησθε c | om απο—υμιν 2° m | απο] + προσωπου d | ⟨om της αγαθης 16⟩ | εδωκεν ο κυριος] κς εδωκεν G aco: κς διδωσιν t: διδωσιν dp | ο κυριος υμιν] υμιν κς Θbgnw𝔄{}𝔍 𝔊: κς ο θς υμιν k: ο θς υμιν Ay: ο (om i*) κς ημιν ia₂: ο κς υμων q: om ο Nhluvx

18 εμβαλειτε] μ sup ras q: εμβαλειται Ncno: εμβαλλετε m: εκβαλειτε Θ: επιβαλειτε a₂: θησετε d(-ται)pt𝔅: *seruate* 𝔈 | ρηματα] + μου G(sub ✠)cox | εις την καρδιαν] *super cor* 𝔅^v: επι των καρδιων bw{}𝔍: *in corda* 𝔄𝔅^lw | om και 2°—υμων 2° bnw | και 2°] om m: + εσται co | εις την ψυχην] *in animas* 𝔄𝔅^lw: *super animas* 𝔅^v{}𝔍 | υμων 2°] ημων i | και 3°—υμων 3° post υμων 4° f* | αφαψετε] αφαψεται NΘi*o: αφαψητε l: αφαψηται c: αφαψατε bdenpuwa₂𝔈 Cyr: ⟨αφαψεσθε 32: εφαψετε 16⟩: *dabitis* 𝔅^v | αυτα] ταυτα m Cyr-ed½ | εις σημειον] post υμων 3° a: *signum* 𝔄-codd: *signa* 𝔄-ed𝔅(pr *in* 𝔅^v)𝔈: om m Cyr½ | των χειρων m𝔄𝔅𝔊{}𝔍 Cyr½ | ασαλευτον] ασαλευτα abcefgmqsvwzb₂𝔄(uid)𝔅 Cyr-ed: σαλευτον G: *mobilia* 𝔊 | προ οφθαλμων] προ των οφθαλμων u: τοις οφθαλμοις bmw

19 διδαξετε] διδαξεται NΘi*o: δειδαξειτε c: διδαξατε deh* npt𝔈 Cyr-ed: διαδεξετε l | αυτα] sub ✠ G: ταυτα m: om Θgkna₂𝔄𝔊 | τοις τεκνοις m | τεκνα υμων λαλ sup ras a^a | om λαλειν—(20) υμων 2° m | om λαλειν εν αυτοις e | λαλειν] sub σ' v: λεγειν GΘbcdgknoptuwxz(mg)a₂: λαβειν Cyr-cod | εν αυτοις B𝔈𝔊{}𝔍] αυτα AFGMNΘ rell 𝔄𝔅 Cyr | om καθημενου —σου 4° d | καθημενου σου Bcox{}𝔍] καθημενους (-νου G*) σου G(σου sub ✠)k: καθημενους AFMNΘ rell 𝔄𝔅𝔈𝔊 Cyr: ⟨καθημενος 71⟩ | om εν 2°—σου 2° Cyr | οικω] + σου Gcox | πορευομενου σου Bckox{}𝔍] πορευομενους (-νου G*) σου G (σου sub ✠): πορευομενους AFMNΘ rell 𝔄𝔅𝔈𝔊 | εν 3°—σου 3° bis scr G* | οδω] pr τη c | om και 3° a₂ | καθευδοντος σου B{}𝔍] κοιταζομενου (-νους G^b) σου G(σου sub ✠)c(+ εν οικω)kox: κοιταζομενους AFMNΘ rell 𝔄𝔅𝔈𝔊 Cyr | om και διανισταμενου σου pt | διανισταμενου σου Bckox{}𝔍] διανισταμενους (-νου G*) σου G (σου sub ✠): ανισταμενους bqsw: διανισταμενους AFMNΘ rell 𝔄𝔅𝔈𝔊 Cyr

20 γραψετε] γραψεται NΘco: γραψατε ep𝔈 Cyr-ed: γραψεις bw{}𝔍: αφαψετε h | αυτας n | επι—υμων 2°] *in superliminare ostii domus uestrae* 𝔈 | τας φλιας] ταις φλιαις eh: των φλιων bw | των οικιων] του οικου bw{}𝔍 | οικων AFMakub₂ Cyr | υμων 1°] σου bw{}𝔍 | om και 2°—υμων 2° i*n | των πυλων] των πυλωνων o: εν ταις πυλαις buv(mg)wz(mg)a₂𝔄𝔅^v (uid){}𝔍: *super ianuas* 𝔊 | υμων 2°] ημων i^at: σου buv(mg) wz(mg)𝔊{}𝔍: om a₂

21 μακροημερευσητε B] πληθυνθωσιν αι ημεραι υμων bqu v(mg)wz(mg)a₂ ⟨128 (-νωσιν)⟩: πολυημερευσετε d: πολυημερευητε Cyr-ed: πολυημερευσητε AFGMNΘv(txt)z(txt) rell 𝔄 Cyr-codd: *multi fiant dies uestri* 𝔈: *multiplicentur dies tui* 𝔍 | και] + πληθυνθωσιν MΘghnpt: + πληθυνθησονται d | om αι 1° o Cyr-ed | ημεραι 1°] + υμων και αι ημεραι Θghnpt: + υμων και d | των υιων υμων] *filiorum tuorum* 𝔊{}𝔍 | υιων bis scr n | υμων 1°] ημων ⟨18⟩ 𝔅^w: μου p | επι 1°] pr και t | κυριος] om h: ⟨+ ο θεος 16.77.130⟩ | υμων 2°] σου qua₂𝔄𝔊 | om δουναι αυτοις m | αυτοις] σοι qua₂𝔄𝔊 | om καθως—γης 2° n | om του dp | επι της γης 2°] om Cyr-codd: + τω πληθει k | επι 2°] απο m

om 22—32 h

22 om εσται ⟨16⟩ 𝔅^lw𝔈 | ακοη] + ras (1—2) q: om dlmv* 𝔅^lw𝔊 | εισακουσητε suvz | πασας—ταυτας] *omnem praeceptum istu*~ 𝔊 | om πασας q | οσας] οσα o: as AFaefi-mrsv(txt) yzb₂: *quod* 𝔊: om N | εντελλωμαι n | σοι Bruv(mg)a₂𝔅 om z: υμιν AFGMNΘv(txt) rell 𝔄𝔈𝔊{}𝔍 | σημερον] post ποιειν f: sub ÷ G | ποιειν] om n: + αυτας του G(sub ✠)acdoptx𝔅 | om αγαπαν—αυτω km | ημων] υμων MΘbcdfginpqtwz𝔈𝔊{}𝔍: *tuum* 𝔄𝔅 | om και 2° AFGMNΘacdfgiln-rtxyb₂𝔄𝔅{}𝔍 | πορευεσθε Bdgln | om πασαις 𝔄𝔊 | om ταις c | οδοις] εντολαις Gcnox | προσκολλασθαι B𝔅^v] και προσκολλασθε dlnq: pr και AFGMNΘ rell 𝔄𝔅^lw𝔈𝔊{}𝔍

23 om και 1° km𝔄𝔅{}𝔍 | εκβαλει] εκβαλλει fs: εμβαλει n | κυριος] om 𝔅^lw: + ο θς km: + εφ υμας l | om παντα mq𝔄-ed

18 αφαψετε] α' συνδησεται *b* | και 4°—υμων 4°] ο' και εσται σαλευτον προ οφθαλμων υμων α' και εσονται εις νακτα μεταξυ οφθαλμων υμων σ' και εσονται διεσταλμενοι μεταξυ των οφθαλμων v

19 λαλειν] ο' λεγειν θ' α' του λαλειν v | καθημενου—σου 4°] ο' α' σ' θ' καθημενου εν οικω σου και πορευομενου εν οδω και κοιταζομενου και διανισταμενου vz(οδων)

20 φλιας] α' σταθμους M 21 υιων] τεκνων vz

22 και 1°—εντολας] σ' εαν γαρ διατελεσητε φυλασσοντες πασαν την εντολην v | και 1°—ακουσητε] ο' και εσται εαν ακοη ακουσητε α' θ' οτι εαν φυλασσοντες φυλαξητε v | ακοη ακουσητε] α' θ' φυλασσοντες φυλαξηται *b*

B τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν, καὶ κληρονομήσετε ἔθνη μεγάλα καὶ ἰσχυρὰ μᾶλλον ἢ ὑμεῖς.
24 πάντα τὸν τόπον οὗ ἐὰν πατήσῃ τὸ ἴχνος τοῦ ποδὸς ὑμῶν, ὑμῖν ἔσται· ἀπὸ τῆς ἐρήμου καὶ 24
Ἀντιλιβάνου, καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς
ἐπὶ δυσμῶν ἔσται τὰ ὅριά σου. 25 οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόσωπον ὑμῶν· τὸν τρόμον 25
ὑμῶν καὶ τὸν φόβον ὑμῶν ἐπιθήσει Κύριος ὁ θεὸς ὑμῶν ἐπὶ πρόσωπον πάσης τῆς γῆς ἐφ᾽ ἧς ἐὰν
ἐπιβῆτε ἐπ᾽ αὐτῆς, ὃν τρόπον ἐλάλησεν πρὸς ὑμᾶς. 26 Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν 26
σήμερον τὴν εὐλογίαν καὶ τὴν κατάραν· 27 τὴν εὐλογίαν, ἐὰν ἀκούσητε τὰς ἐντολὰς Κυρίου τοῦ 27
θεοῦ ὑμῶν ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον· 28 καὶ αἱ κατάραι, ἐὰν μὴ ἀκούσητε τὰς ἐντολὰς 28
§ C^c Κυρίου τοῦ θεοῦ ὑμῶν ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, § καὶ πλανηθῆτε ἀπὸ τῆς ὁδοῦ ἧς
¶ P^l ἐνετειλάμην ὑμῖν, πορευθέντες λατρεύειν θεοῖς ἑτέροις οὓς οὐκ οἴδατε.¶ 29 καὶ ἔσται ὅταν εἰσα- 29
γάγῃ σε Κύριος ὁ θεός σου εἰς τὴν γῆν εἰς ἣν διαβαίνεις ἐκεῖ κληρονομῆσαι αὐτήν, καὶ δώσεις
εὐλογίαν ἐπ᾽ ὄρος Γαριζεὶν καὶ τὴν κατάραν ἐπ᾽ ὄρος Γαιβάλ. 30 οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ 30
Ἰορδάνου ὀπίσω ὁδὸν δυσμῶν ἡλίου ἐν γῇ Χανάαν, τὸ κατοικοῦν ἐπὶ δυσμῶν, ἐχόμενον τοῦ
Γολγόλ, πλησίον τῆς δρυὸς τῆς ὑψηλῆς; 31 ὑμεῖς γὰρ διαβαίνετε τὸν Ἰορδάνην, εἰσελθόντες 31

24 ορεια B 29 διαβεννις A 31 διαβαινεται A

AFGMNΘa-gik-b$_2$𝔄𝔅(ℭ^c)𝔈𝔏^r(𝔓^l)

𝔈 | om ταυτα fi | απο προσωπου υμων] *a facie tua* 𝔅 | κληρονομησετε—ισχυρα] *eritis heredes gentium maiorum et fortunatorum* 𝔏 | κληρονομησετε] κληρονομησητε GNdeklmn*(-ται)op (uid)stvz: κατακληρονομησετε bw | om και ισχυρα a$_2$ | ισχυρα Bay] ισχυροτερα υμων bmqtw: ισχυροτερα AFGMNΘ rell | om μαλλον η υμεις m

24 παντα—ιχνος] *et omnium locorum quae calcaueris uestigio* 𝔏 | παντα] pr *et* 𝔈 | om τον Nbfmw | τοπον] ποτον e*(uid) | ου BAa$_2$(uid)𝔄(uid)] ον FGMNΘ rell 𝔅(uid) | αν FMNadefi-mp-vy-b$_2$ | πατησητε m | των ποδων Fz𝔄𝔅𝔈𝔓 | υμων] υμιν t: +εν αυτω G(sub ✠)cox | και αντιλιβανου] και αντιλαμβανου f: *usque ad Antilibanum* 𝔄𝔅^lw: om N | om και 2° y | απο του] αντι o | ποταμου 1°—ποταμου 2°] μεγαλου του ποταμου n | om του ποταμου f | om του μεγαλου ποταμου ckl ms | om ποταμου 2° NΘdopqa$_2$𝔅^lw𝔈𝔏𝔓 | ευφρατου] εφρατου cw*𝔄: του εφρατου b′: *Eufrathen* 𝔏 | om και 3° cm𝔄𝔅 | om της 2°—επι 𝔅^v | om της 2° cox | σου BG*cox𝔓] υμων AFG^b MNΘ rell 𝔄𝔅𝔈𝔏

25 τον 1°] pr και alb$_2$𝔄-codd 𝔈 | τρομον Boqx𝔏𝔓] φονον s: φοβον AFGMNΘ rell 𝔅𝔈 | om υμων 2° k𝔄 | om τον 2° b$_2$ | φοβον Boqx𝔏𝔓] τροπον g: τρομον AFGMNΘ rell 𝔅𝔈 | om υμων 3° m | επιθησει—υμων 4°] δωσω l | επιθηση *b*do | om κυριος 𝔏 | om ο θεος υμων 𝔅^lw | om ο θεος c | υμων 4°] ημων em: om k | προσωπον 2°] προσωπου AFGNΘa-dfglnop(uid)s-wy-b$_2$: προσωπω M: om i* | om πασης v | εφ] αφ f$^{a?}$ | εαν επιβητε] *ascendistis* 𝔏 | εαν Box] αν AFGMNΘ rell | επιβητε] επεβητε f: επιβηση N | επ αυτης] επ αυτους q: om m | ελαλησεν Bco𝔄] +κς AFG(sub ⸗)MNΘ rell 𝔅𝔏 | προς υμας] υμιν bw: επ αυτης F: *ad nos* 𝔏: *uobis Dominus* 𝔓: +κς co 𝔄𝔈: om kmx

26 ιδου εγω] pr *et* 𝔈: *et ego ecce* 𝔄 | εγω] +ειμι x | διδωμι] *dedi* Luc: om b$_2$: +υμιν df𝔏 | ενωπιον υμων σημερον] σημερον εναντιον υμων A𝔄 | εναντιον MNab′ry | την 1°—καταραν B] ευλογιαν και (+την gn) καταραν bcgnwz(mg): καταρας και ευλογιας u: ευλογιας και καταρας AFGMNΘz(txt) rell 𝔄𝔅𝔏

27 την ευλογιαν] τας (+μεν m) ευλογιας FNΘdefi-mpqs-v zb$_2$𝔏 | ⟨om τας εντολας 16.77.130⟩ | om του θεου υμων 𝔅^lw | υμων] ημων em: ημων και αποτελεσητε ταυτας d | ας Bsvza$_2$] α e: οσα mo: οσας AFGMNΘ rell 𝔈(uid): *quaecunque* Luc | εντελλωμαι n | υμιν] σοι bw | om σημερον m

28 om και 1°—σημερον flmz(txt)a$_2$𝔈^f | και 1° ex corr p^a | αι καταραι B] την καταραν bgnw𝔄(uid)𝔅(uid)ℭ^c(uid)𝔏𝔓: τας καταρας AFGMNΘz(mg) rell | εισακουσητε AFMNΘacegio-t vxz(mg)b$_2$ | τας εντολας] της φωνης r: ⟨om 16⟩ | om του θεου υμων 𝔅^lw | ημων enpq | om οσα—σημερον dkpx | οσα Bc z(mg)] ας o𝔈^c(uid): οσας AFG(οσας—υμιν 1° sub ⸗)MNΘ rell | εγω] post υμιν 1° 𝔏: om 𝔅^lw | εντελλωμαι n | υμιν 1°] σοι bw | om σημερον Gcot | om και 2° z(mg) | πλανηθητε] pr μη lm𝔏: om dp | ενετειλαμην] pr *ego* 𝔄𝔅^v: ενετειλαμ.. F*: ενετειλατο F^b: εντελλομαι dp𝔏: *ego mando* 𝔈 | υμιν 2°] +σημερον Gcdoptx𝔈 | πορευθεντες λατρευειν] *ut iretis in ea et seruiretis* 𝔓 | πορευθεντες] πορευεσθαι c: om 𝔅^lw | om ετεροις u | om ους ουκ οιδατε N | ους Bb′ex] οι n: οις AFGMΘ rell | ουκ οιδατε] sup ras A^1: ουκ ηδειτε d

29 και εσται οταν] *si autem* ℭ: om εσται 𝔈 | εισαγαγειν m | εις 1° bis scr q* | om εις 2° ANΘcegmn | διαβαινεις] *transibitis* 𝔅𝔏 | εκει] *Iordanem* 𝔄𝔈 | κληρονομησαι] sub λ v: κληρονομειν Gbcowa$_2$ | αυτην] +*ibi* 𝔈 | δωσεις] *dabit* 𝔏 | ευλογιαν B] την ευλογιαν σου f: pr την AFGMNΘ rell | ορους 1°] ορους b′cdfp | γαριζειν] γαριζην d: γαριζειμ G^bcx: γαραζειν o: *Garezin* 𝔄-codd: *Garizi* 𝔏: γαζιρειν Am: *Carizin* ℭ: ριζειν q(uid) | ορος 2°] ορους b′cdfl*psz | γαιβαλ] γαιβα. F*: αιβ sup ras z$^{a?}$: γεβαλ bcdglmnptw On-cod ½: γαβαλ fq

30 ουκ ιδου ταυτα] *ecce enim sunt* ℭ: *haec sunt* 𝔈: om ιδου 𝔏 | ταυτα] +παντα c | οπισω οδον δυσμων] *posui ad occasum* 𝔏 | οδον] οδων beglnwz: om 𝔅^lw | δυσμων 1°] pr επι F$^{a?}$: δεσμων p: om F* | om εν—δυσμων 2° a$_2$ | γη] pr τη Gb ckow | χανααν] *Banan* 𝔏 | το κατοικουν] *qui habitant* 𝔏 | επι] pr ras (1—2) l | δυσμων 2°] +ηλιου u𝔅^v | εχομενον] εχομενων N: εχομενα c | του 2°] επι g: om beuvwz | γολγολ] γολγο. F*: γολγωλ G: γαλγαλ ck𝔄-ed: γολγω o: γολγοδ F^b (uid): γολγωδ u: γοδγοδ N: σολγολ bw: χολγολ n: γολγωλ(-ων cod) η και γαλγαλ(-αν cod) On: +εσχατης g | πλησιον—υψηλης] *adfine quercus altam* 𝔏

31 υμεις γαρ] *et uos* 𝔄: ⟨ης υμεις 16⟩: om γαρ m𝔅^l | δια-

24 της επι δυσμων] οι λ′ της εσχατης *bv*(sine nom) | επι δυσμων] οι λ̊ εσχατης Mz(sine nom)
25 επι—γης] ο′ α′ σ′ θ′ επι προσωπου πασης της γης v
27 την ευλογιαν] ο′ α′ σ′ θ′ την ευλογιαν v
28 υμιν σημερον] ο′ σ′ θ′ χωρις του σημερον α′ υμιν σημερον v | ους ουκ οιδατε] ο′ α′ σ′ θ′ ους ουκ οιδατε v
29 κληρονομησαι] ο′ κληρονομειν v | γαιβαλ] α′ ηβαλ *b*
30 δυσμων 1°] α′ εισοδου M | γολγολ] γογγωλ v | της 1°—υψηλης] α′ αυλωνος καταφανους M

κληρονομῆσαι τὴν γῆν ἣν Κύριος ὁ θεὸς ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας τὰς ἡμέρας, καὶ B
32 κατοικήσετε ἐν αὐτῇ. 32καὶ φυλάξεσθε τοῦ ποιεῖν πάντα τὰ προστάγματα αὐτοῦ καὶ τὰς κρίσεις
ταύτας ὅσας ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον.

XII 1 §1Καὶ ταῦτα τὰ προστάγματα καὶ αἱ κρίσεις ἃς φυλάξετε τοῦ ποιεῖν ἐν τῇ γῇ, ᾗ Κύριος ὁ § h
θεὸς τῶν πατέρων ἡμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ, πάσας τὰς ἡμέρας ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς.
2 2ἀπωλίᾳ ἀπολεῖτε πάντας τοὺς τόπους ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, οὓς ὑμεῖς
κληρονομεῖτε αὐτούς, ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν θινῶν καὶ ὑποκάτω δένδρου
3 δασέος· 3καὶ κατασκάψατε τοὺς βωμοὺς αὐτῶν, καὶ συντρίψετε τὰς στήλας αὐτῶν, καὶ τὰ ἄλση
αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν §κατακαύσατε πυρί· καὶ ἀπολεῖται τὸ ὄνομα § j
4 αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου. 4οὐ ποιήσετε οὕτως Κυρίῳ τῷ θεῷ ὑμῶν· 5ἀλλ' ἢ εἰς τὸν τόπον
ὃν ἂν ἐκλέξηται Κύριος ὁ θεός σου ἐν μιᾷ τῶν πόλεων ὑμῶν, ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ
6 ἐπικληθῆναι, καὶ ἐκζητήσατε καὶ ἐλεύσεσθε ἐκεῖ· 6καὶ οἴσετε ἐκεῖ τὰ ὁλοκαυτώματα ὑμῶν καὶ

XII 2 απωλεια $B^{ab}AF$ | απολειται A | θειων B | δασεως $AF^*$
3 κατασκεψατε $B^*$(-σκαψ- $B^{ab}$) | βωμους] aliq emend $B^1$(uid)
5 και ελευσεσθε $B^{ab}$] om $B^*$ 6 εκει $B^{ab}$(suprascr)] om $B^*$

AFGMNΘa–g(h)i(j)k–$b_2$ABC$^c$EL$^r$

βαινετε] αναβαινεται Θ: *transibitis* BCL | εισελθειν bw | κληρονομειτε f | της γης dp | ⟨κυριος ο θεος⟩ ο κυριος 18⟩ | om ο θεος υμων B$^{lw}$ | υμων] pr των πρων x: ημων AMNeiloyb$_2$: σου b'u v(mg)a$_2$L: om kA | υμιν] ημιν N: σοι u A-ed: om F* | εν 1°—ημερας] sub ÷ G: om x | om πασας τας ημερας dL | και—αυτη] και κληρονομησετε αυτην Fb$_2$: και κληρονομησατε αυτην και κατοικησατε αυτην κληρονομησατε εν αυτη N: om k | και BdmCEL] pr και κατακληρονομησετε αυτην bw: pr *et haereditabitis eam* AB$^1$(om *et*): pr κληρονομησαι αυτον gnB$^v$: ⟨pr κληρονομησατε αυτην 46: pr κατοικησετε αυτην 130⟩: pr κληρονομησετε αυτην esuvza$_2$: pr και κληρονομησετε αυτην A GMΘ rell (-σητε loq) | κατοικησητε lp(uid)y | εν αυτη] ⟨εν αυτοις 30⟩: επ αυτης uBC: ⟨+πασας τας ημερας κληρονομησετε αυτην 16⟩

32 φυλαξασθε c–flnoE | om του GΘbcgi*mnouwxa$_2$ | παντα] post αυτου m: om gn | προσταγματα] προσταγμα n | αυτου] μου Ay: ταυτα G(sub ÷)c(ταυ bis scr c*)xC: om ko: +και τα κριματα αυτου Θ | τας κρισεις] τα κριματα k | ταυτας] sub ÷ G: αυτου AFMNadefilmqrsvyz(txt)b$_2$B$^v$E(uid): om k | οσας] pr *quas obseruabitis in terra* B$^v$: οσα k: ας AFGMNace filmoqrsvxyz(txt)b$_2$: *et omnia quae* E | διδωμι ενωπιον υμων] εντελλομαι υμιν GΘc(-ελω-)dgkn(-ωμαι)opqtxC

XII 1 και 1°] κατα Θ: om dqB$^{lw}$ | ⟨προσταγματα—ας] κριματα και τα προσταγματα α 71⟩ | om και αι κρισεις a | αι κρισεις] τα κριματα AFMNefhikmqrsuvy–b$_2$ Cyr (om τα $\frac{1}{3}$) | ας] α AFMNaefh–mqrsuvy–b$_2$ Cyr$\frac{2}{3}$-ed$\frac{1}{3}$: om Cyr-cod$\frac{1}{3}$ | φυλαξετε By] φυλαξεται N: φυλαξασθε Mefln Cyr$\frac{1}{3}$: φυλαξεσθε AF GΘ rell Cyr$\frac{2}{3}$ | om του GΘb–egnoptuwxa$_2$ Cyr$\frac{2}{3}$ | ποιειν] ποιησαι AFMNaefhilmrsv(txt)yzb$_2$ Cyr$\frac{1}{3}$: ⟨ποιησαι αυτα 32⟩: +*ea* BC | om εν 1°—γης m | εν τη γη BA(uid)BEL] επι της γης AFGMNΘ rell C Cyr | η B] ην G Cyr-ed$\frac{1}{3}$: ης AFM NΘ rell Cyr$\frac{2}{3}$-codd$\frac{1}{3}$: *in qua*~ L | κυριος—υμιν] διδωσιν κς ο θς των πρων υμων (υ ex η o$^a$) Gcox (+υμιν co): *dat uobis Dominus Deus uester* E | ⟨κυριος ο θεος⟩ ο κυριος 18⟩ | om ο—ημων ⟨71⟩ B$^w$ | om των πατερων B$^1$ | ημων BAenya$_2$ Cyr$\frac{1}{3}$] υμων FMNΘ rell AB$^{lv}$ Cyr$\frac{2}{3}$: *tuorum* CL: (om 46⟩ | υμιν] *tibi* C | om πασας B$^v$ | υμεις] post ζητε AE: ημεις l: om qB$^{lw}$L | ζητε] ζησετε ⟨16.46.73.77.130⟩ B: ⟨ζητειτε 30⟩ | om επι της γης l

2 απωλια] pr και Θb'E$^f$ | παντας τους τοπους] παντα τα εθνη A: om παντας m: om τους i* | εκει BA] om E: +τα εθνη FGMNΘ omn BCL Cyr: +*omnes gentes* A | τοις θεοις αυτων post αυτους Gcx | τους θεους m | αυτων] +*gentes* E | ους—αυτους] *quorum uos heredes eratis* L | ους] *in quibus* A-ed | κληρονομειτε] κληρονομησετε BC Cyr$\frac{1}{3}$: ⟨κληρονομησαι 73⟩: κατακληρονομειτε AFGMNΘadfhikmnpqrtwyb$_2$ Cyr-codd$\frac{1}{3}$: κατακληρονομητε bgl | αυτους] αυτοις l Cyr-cod$\frac{1}{3}$: τους t: om m | om των 2° Cyr$\frac{1}{3}$ | om και 1°—θινων k | ⟨om και 1° 18⟩ | επι των θινων] *super planam terram* L | επι 2°] υπο ma$_2$: om d Cyr-cod$\frac{1}{3}$ | om των 3° q | θινων] θηρων f | δενδρου] pr παντος F$^{amg}$G(sub ⁂)Θa–dgkn–qtwxB$^{lw}$

3 om και 1° B Cyr$\frac{1}{3}$ | κατασκαψατε B$^{ab}$bh*oux E Cyr$\frac{1}{3}$] κατασκεψατε B*: κατασκεψετε a$_2$: κατασκεψασθε n: κατακαυσετε f: κατασκαψετε AFGMNΘh$^b$ rell ABCL Cyr$\frac{2}{3}$ | τους βωμους αυτων post συντριψετε d | om και 2°—αυτων 2° e | συντριψετε] post αυτων 2° y: συντριψητε m: συντριψατε bh*noE | τας] pr και d | om αυτων 2° d | om τα 1° Cyr$\frac{1}{3}$ | ⟨om αυτων 3° 71⟩ | om εκκοψετε—αυτων 4° u* | εκκοψετε] εκκοψεται Θ: εκκοψατε cdn(εγκ-)oE: +πυρι G(sub ⁂) | κατακαυσατε BeE] κατακαυσεται F*Θb'cfn: κατακαυσητε o: κατακαυσετε AF$^b$G MN rell ABCL Cyr | ⟨πυρι⟩ pr εν 32⟩ | om και 5° ⟨74⟩ B$^1$ | απολειται] απολειτε AGabdegi–npqs–zABCE Cyr: *pedes* L | αυτων 5°] ων ex corr o$^a$: αυτου an

4 ου] pr ταυτα f: pr και mAE$^c$: *et* E$^f$ | ποιησετε] ποιησεται Θbcf*(uid)hno: ποιησεις Or-gr | υμων] ημων elmp$^{a1}$a$_2$B$^w$: σου Or-gr: +*adulitionis* L

5 om αλλ—σου E$^f$ | αλλ η] αλλα Θbgnow | εις τον τοπον] *in loco* A: om τοπον c | αν] εαν x: om NmB$^{lw}$ | εκλεξηται] εξελεξεται k: εξελεξατο mB$^{lw}$ | om ο θεος σου B$^{lw}$E$^c$ | σου B] ημων ce: υμων AFGMNΘ rell AB$^v$CL | om εν—υμων a | εν μια] εκ πασων bw: εκ yB$^{lw}$ | πολεων BE] ⟨πυλων 74⟩: φυλων AFGMNΘ rell ABCL | υμων] υμ sup ras f$^a$: om b'mC: +*omnium* B$^v$ | εκει επικληθηναι] *et uocari in eo* A | εκει 1°] post επικληθηναι N: om bw | επικληθηναι] pr *et* C: *et inuocare* L: ⟨κληθηναι 76⟩: om BE | om και 1°—εκει 2° E | και 1°] pr και ζησεται bw: εκει m: om AB | εκζητησατε Bmu$^{a1}$] εκζητησεται NΘb'ch: εκζητησηται o: εκζητισαι n: εκζητησεσθε a$_2$: εκζητησετε AFGMu* rell ABCL | om και ελευσεσθε B*a$_2$ | ελευσεσθε] εξελευσεσθε d: εισελευσεσθε AFGMΘacfhiklmorxy b$_2$AB$^{lv}$L: εισελευσεται N: *intrare* B$^w$

6 οισετε] θησετε F$^b$ | om εκει B*NdmAE | τας ομολογιας

XII 2 των θινων] α' σ' θ' των βουνων F$^b$(sine nom)vz | θινων] οι λ βουνων b | δασεος] α' ευθαλους M
3 βωμους αυτων] α' θ' θυσιαστηρια αυτων b 5 επικληθηναι] εις την κατασκηνωσιν αυτου b

6 τὰς ὁμολογίας ὑμῶν, τὰ πρωτότοκα τῶν βοῶν ὑμῶν καὶ τῶν προβάτων ὑμῶν· 7καὶ φάγεσθε 7
ἐκεῖ ἐναντίον Κυρίου τοῦ θεοῦ ὑμῶν, καὶ εὐφρανθήσεσθε ἐπὶ πᾶσιν οὗ ἂν τὴν χεῖρα ἐπιβάλητε,
ὑμεῖς καὶ οἱ οἶκοι ὑμῶν, καθότι εὐλόγησέν σε Κύριος ὁ θεός σου. 8οὐ ποιήσετε πάντα ἃ ἡμεῖς 8
ποιοῦμεν ὧδε σήμερον, ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ· 9οὐ γὰρ ἥκατε ἕως τοῦ νῦν εἰς τὴν 9
κατάπαυσιν καὶ εἰς τὴν κληρονομίαν ἣν Κύριος ὁ θεὸς ἡμῶν δίδωσιν ὑμῖν. 10καὶ διαβήσεσθε 10
τὸν Ἰορδάνην, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς ἧς Κύριος ὁ θεὸς ἡμῶν κατακληρονομεῖ ὑμῖν, καὶ
καταπαύσει ὑμᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ὑμῶν τῶν κύκλῳ, καὶ κατοικήσετε μετὰ ἀσφαλίας.
11καὶ ἔσται ὁ τόπος ὃν ἂν ἐκλέξηται Κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, οἴσετε 11
πάντα ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ θυσιάσματα ὑμῶν, καὶ
τὰ ἐπιδέκατα ὑμῶν καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν, καὶ πᾶν ἐκλεκτὸν τῶν δώρων ὑμῶν ὅσα
ἐὰν εὔξησθε τῷ θεῷ· 12καὶ εὐφρανθήσεσθε ἐναντίον Κυρίου τοῦ θεοῦ ὑμῶν, ὑμεῖς καὶ οἱ υἱοὶ 12
ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, οἱ παῖδες ὑμῶν καὶ αἱ παιδίσκαι ὑμῶν, καὶ ὁ Λευείτης ὁ ἐπὶ τῶν

7 ευφρανθησεσθαι A | ηυλογησεν AF  10 ασφαλειας $B^{ab}$AF  12 λευιτης $B^{b}$AF

AFGMNθa–$b_2$𝔄𝔅$^{c}$𝔈𝔏$^{r}$

υμων B] pr *hostias uestras et* 𝔏: τα θυσιασματα υμων και τας απαρχας υμων και τας ευχας υμων και τα εκουσια υμων AFGMNθ omn ⟨71⟩ 𝔄𝔅𝔈 [om τα 1°—και 1° F*Nb′*b*nuw$𝔅^{v}$ | τα θυσιασματα] τα θυμιαματα m: τας θυσιας $F^{1}$ | υμων 1°] om 71: +και τας δεκατας υμων G(sub ✻)ckot(επιδεκ-)xz(mg)𝔄: ημων και τας δεκατας ημων $b^{a?}$: +και τας επιδεκατας dp | om και 1°—υμων 2° fi | om τας 1° dp | απαρχας υμων και sup ras M | απαρχας]+των χειρων G(sub ✻)ckoxz(mg) | om υμων 2° N .71 | om και 2°—υμων 3° Aaegqrsv(txt)y | τας ευχας] *decimas* 𝔈 | om τας 2° p | om υμων 3° hp .71 | om και 3°—υμων 4° d | om και τα p | υμων 4°] και ομολογιας p: και τας ομολογιας υμων sz: +και τας ομολογιας υμων befijkt–$va_2$ .71 𝔄𝔅𝔈: +και τας ομολογιας w]] | τα 2°] pr και AGNθbcdgkm–ptwx𝔄𝔅𝔈𝔏 | πρωτοτοκια N | υμων 3°] om ⟨71⟩ 𝔄: +και τας ομολογιας υμων h | om υμων 4° N𝔏 | τα προβατα ej

7 om εκει 𝔄-ed | εναντιον BA] εναντι FGMNθ rell | του θεου] κω̄ τω θω̄ l | υμων 1°] ημων Neln | om και 2° f | ευφρανθησετε f | επι πασιν ου] εφ οις m | επι] εν $G^{b}$Mw𝔅𝔈 | πασιν] παντων n | ου] ους h: οις fk: εν οις l | εαν AFNθa–df i–lo–wyz$a_2b_2$ | την χειρα επιβαλητε B𝔏] *manum uestram immiseritis* 𝔅𝔈: *immiseritis manum uestram* 𝔈: τας χειρας υμων επιβαλητε dpt: επιβαλητε τας χειρας Akqry: επιβαλης την χειρα σου uv(mg)$a_2$: επιβαλητε τας χειρας υμων FG(υμων sub ✻)MNθv(txt) rell 𝔄 | om υμεις—σου m | υμεις] pr *et* 𝔄-codd: om Mh$𝔅^{lw}$ | οικοι] οικεται dpt: υιοι aejk𝔈 | καθοτι] *quia* 𝔈𝔈 | om σε 𝔏

8 ου] ουτως k | ποιησεται M*Nθci*no | παντα] pr κατα bdfipqtuv(mg)wz(mg)$a_2$𝔅 | α] οσα abdptuv(mg)wz(mg)$a_2$ Phil | ημεις—σημερον] *hodie nos hic non facimus* 𝔄 | ημεις ποιουμεν] υμεις ποιειτε FGMNacefi–moqrsv(txt)z(txt)$b_2$(-ητε mo)𝔈: *facite* $𝔅^{lv}$ | ημεις] υμεις dp: om $𝔅^{w}$ | εποιουμεν θ | om ωδε f | om σημερον ejsuz | εκαστος] εκαστον n Thdt-ed: εκ στοματος lm | των αρεστων c | ⟨om ενωπιον αυτου 130 txt⟩ | ενωπιον Bn Phil½ Thdt-ed] εναντι l: εναντιον AFGMNθ rell Phil½ Thdt-codd | αυτου] κῡ l

9 om totum comma k | ηκετε gn | om εως—και u* | om εως του νυν 𝔄-ed | κληρονομιαν] +αυτων dp | om ο θεος ημων $𝔅^{lw}$ | ημων] υμων Na-dfjoqtv(mg)w$𝔅^{v}$𝔈𝔏: ημιν F*(-ων $F^{1}$): om $empa_2$ | διδωσιν] *dabit* 𝔅𝔈𝔏 | υμιν] ημιν o: +*usque in hunc diem* 𝔄

10 om και 1°—υμιν m | και κατοικησετε 1°] του κατοικησαι l | om και 2° o$𝔅^{lv}$ | κατοικησετε post γης n | επι της γης] *in terra* 𝔈𝔏(-*am*): +της αγαθης y | ης] ην $be^{a}$nw | om ο θεος ημων $𝔅^{lw}$ | ημων] υμων AFGMNθabdf–knoqrs$^{a?}$tuv(mg)$wa_2b_2$$𝔅^{v}$𝔈 𝔈𝔏: υμιν y: ⟨om 71⟩ | κατακληρονομει Bbfw$a_2$𝔏] διδωσιν υμιν κατακληρονομησαι p: κατακληρονομησει AFGMNθ rell 𝔄𝔅𝔈(uid): ⟨κατακληρονομηση 16.130⟩ | ⟨καταπαυση 16.130⟩ | om παντων $ma_2$𝔅 | εχθρων] εθνων bw | υμων] post κυκλω blw: om m | om των 2° θgn | κυκλω] *circa nos* 𝔄𝔅𝔈𝔏 | om και 4° c | κατοικησετε 2°] +*super terram* 𝔈

11 om totum comma k | ⟨ον] ο 18⟩ | αν] εαν bow: om Ny | om ο θεος σου $𝔅^{lw}$ | σου By] ημων e𝔄: υμων εν αυτω G(εν αυτω sub ✻)acdoptx Eus: υμων AFMNθ rell $𝔅^{v}$𝔈𝔈𝔏 Thdt Spec | το ονομα αυτου] pr υμιν σημερον m: post εκει θgn Thdt | εκει] *super eum* 𝔄 | οισετε] pr εκει AFGMNθd–jnp–vx–$b_2$𝔄𝔅𝔈 Thdt: εκει οισειτε c | παντα] pr συν x: παντες c | εγω] post εντελλομαι m: om befjsuvwz$a_2$$𝔅^{v}$𝔈𝔏 Spec | εντελλομαι] εντελλωμαι n: ενετειλαμην bw | σημερον sub ÷ G | τα 1°] pr και l | om υμων 1° fl𝔏 | om και 2°—υμων 4° d | om και 2°—υμων 3° e | om και 2°—υμων 2° N | τα θυσιασματα] τα θυμιασματα l*: τα θυμιαματα m: τα επιθυσιασματα c: τα θυσιαστηρια u: τας θυσιας af Thdt-codd | ⟨θυσιασματα—θεω] δοματα υμων 46⟩ | om υμων 2° ⟨71⟩ Thdt-codd Spec | om και 3°—υμων 3° $lma_2$ Thdt-codd | om και 3° Thdt-ed | om τα 3° npt | επιδεκατα] επιτηδευματα j | ⟨om υμων 3° 71⟩ | om και 4°—υμων 4° F*u* Thdt-codd | τας απαρχας] *initia uestra* 𝔏 | om των χειρων υμων Spec | των χειρων] *arborum* 𝔄-cod | και 5° Bx𝔈] pr και τα ολοκαυτωματα των υιων υμων bw: pr και τα δοματα υμων (om υμων d) και τας ευχας υμων dpt: pr και τα δογματα υμων lmq: pr και τα δοματα υμων AFG(sub ÷)MNθ rell 𝔄𝔅 (om και $𝔅^{lw}$)𝔈𝔏 Thdt Spec: ⟨pr και τα δοματα αυτων 16: pr και τα δοματα 71.73⟩ | παν—υμων 5°] *omnia quae elegerit de manibus uestris* Spec | επιλεκτον θ | των δωρων] το δωρον l: δωρον d | οσα 2°] οσαν b′ | εαν ευξησθε] *uouerit* Spec-cod | εαν] αν AFGMNθadefhijlmp–vy–$b_2$ | τω θεω B𝔏] ⟨τον θεον υμων 30⟩: τω κω̄ υμων Gcfio: κω̄ τω θω̄ υμων dpqt Spec: τω κω̄ θω̄ υμων x: +ημων elmr*𝔈: +υμων AFMNθr$^{a}$ rell 𝔄𝔅𝔈

12 om totum comma k | εναντιον BGNclox] εναντι AFMθ rell | om του θεου υμων $𝔅^{lw}$ | υμων 1°] ημων e𝔄 | υμεις] pr και o | om οι 1° *b* | υμων 2°] ημων h* | om υμων 3° 𝔏 | οι 2°] pr και Gcoqrx𝔄𝔈𝔈𝔏 | υμων 4°] σου u: om dp𝔏 | αι 2°] sup ras $A^{a}$: οι c | υμων 5°] ημων l | ο λευειτης ο] *Leuitae qui* $𝔅^{w}$𝔈 | om ο 2° l* | επι των πυλων] *ad ianuas* 𝔏: εν ταις πολεσιν bw |

7 πασιν—επιβαλητε] α′ [πα]ση αποστολη χειρος M  9 ημων] σου vz
10 ημων] σου s | μετα ασφαλιας] α′ πεποιθοτως M

13 πυλῶν ὑμῶν, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μεθ' ὑμῶν. [13]πρόσεχε σεαυτῷ μὴ ἀνενέγκῃς B
14 τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ οὗ ἐὰν ἴδῃς, [14]ἀλλ' ἢ εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος
ὁ θεός σου αὐτὸν ἐν μιᾷ τῶν φυλῶν σου· ἐκεῖ ἀνοίσετε τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ ἐκεῖ ποιήσεις
15 πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον. [15]ἀλλ' ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις καὶ φάγῃ κρέα
κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ θεοῦ σου ἣν ἔδωκέν σοι ἐν πάσῃ πόλει· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ
16 καθαρὸς ἐπὶ τὸ αὐτὸ φάγεται αὐτό, ὡς δορκάδα ἢ ἔλαφον· [16]πλὴν τὸ αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν
17 γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ. [17]οὐ §δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσίν σου τὸ ἐπιδέκατον τοῦ σίτου § ℙ[d]
σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου †καὶ τῶν προβάτων σου†,
καὶ πάσας εὐχὰς ὅσας ἂν εὔξησθε καὶ τὰς ὁμολογίας ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν σου·
18 [18]ἀλλ' ἢ ἐναντίον Κυρίου τοῦ θεοῦ σου φάγῃ αὐτὸ ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται Κύριος ὁ θεός σου
αὐτῷ, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ προσήλυτος ὁ
ἐν ταῖς πόλεσιν ὑμῶν· καὶ εὐφρανθήσῃ ἐναντίον Κυρίου τοῦ θεοῦ σου ἐπὶ πάντα οὗ ἂν ἐπιβάλῃς
19 τὴν χεῖρά σου. [19]πρόσεχε σεαυτῷ μὴ ἐνκαταλίπῃς τὸν Λευείτην πάντα τὸν χρόνον ὅσον ἐὰν ζῇς

14 εκλεξητε A 15 πολι B*(-λει B[a†b]) 17 om και 3°—σου 6° B
18 εκλεξητε A | αυτω—σου 4° bis scr B*(uncis incl συ 1°—αυτω 2° B[ab]) 19 εγκαταλιπης B[b] | λευιτην B[b]AF

AFGMNΘa–b$_2$𝔄𝔅𝔠𝔈𝔏[r](ℙ[d])

πυλων] πολεων o: ⟨θυρων 74.76⟩ | om υμων 6° s | αυτω] *iis* 𝔄 | μερις ουδε κληρος] κληρος ουδε μερις G: κληρος η μερις a$_2$ | ουδε] ⟨η 32⟩: *et* 𝔈 | κληρος] +*in habitationibus uestris* 𝔠 | υμων 7°] ημων d

13 μη] +ποτε G(sub ⁂)cdkoptx Eus | ανενεγκης] *inferas tibi* 𝔏 | το ολοκαυτωμα z Cyr½ | om εν παντι τοπω Eus | om ου εαν ιδης 𝔏 | ου] ω ua$_2$ Cyr | αν dpqtya$_2$ | ειδης Na$_2$

14 om η bow | εις τον τοπον] *in loco* 𝔄: om τον Cyr-ed½ | ον] ο u: ου oq | εαν beijoswxz | εκλεξη s | ο—αυτον] sub ÷ G: om k | αυτον—σου 2°] εκει επικληθηναι το ονομα αυτου Cyr½ | αυτον] αυτω o𝔄: om mn𝔈 | φυλων BΘgn𝔅[w]𝔈𝔏] πολεων AF GMN rell 𝔄𝔅[lv]𝔠 Eus Cyr½ | om σου 2° m | εκει ανοισετε] *adferes ibi* 𝔏 | ανοισετε Bg] ανοισειται n: ανοισης fi: ανοισεις AFGMNΘ rell 𝔄𝔅𝔠𝔈 Eus Cyr½: οισεις Cyr½ | το ολοκαυτωμα Cyr-cod½ | υμων B] om lm: σου AFGMNΘ rell 𝔄𝔅 (+*et sacrificia tua* 𝔅[lv])𝔠𝔈𝔏 Eus Cyr | ποιησης f | om εγω f𝔅𝔠𝔏 Eus | εντελλομαι] post σοι Cyr-cod: εντελλωμαι cn | σοι] υμιν l Eus: om g* | σημερον] sub ÷ G: om kx𝔏

15 om αλλ—θυσεις k | αλλ η] *sed et* 𝔄: αλλα a$_2$: και m 𝔈𝔏 | παση] πασι εν n | επιθυμια] +ψυχης G(sub ⁂)ch(pr της) x𝔅(uid): +ψυχη o | θυσης bhiw | κρεα] +κατα την επιθυμιαν της ψυχης σου F[a mg]Θbdegjnpqs–wy[a]za$_2$𝔅𝔠 Cyr | κατα] και fn | om την n | om κυριου m | om την q | δεδωκε Cyr-cod | πολει] pr τη u: τη πολει σου x: +σου G(sub ⁂)cdopt𝔠 | εν σοι] sub ÷ G: om kx𝔈 | ο 2° sup ras (3) o[a] | καθαρος] ος sup ras o[a]: ακαθαρτος Gr: +*qui in te* 𝔄-codd | επι το αυτο] sub ÷ G: om x | επι] κατα u | φαγεται] αι sup ras M: φαγετε AGns: φαγονται bejwz𝔄𝔅𝔠𝔈 | om αυτο 2° ⟨18*⟩ 𝔠 | δορκαδα η ελαφον] *ceruum uel ceruam* 𝔏 | η 2°] pr *edent eam* 𝔠: *et* 𝔄 | ελαφον] pr *sicut* 𝔈: ον ex corr n: ελαφος ct

16 ου φαγεσθε] ουκ εδεσθε bw | επι την γην post αυτο u𝔏 | επι] pr αλλα Gckorx𝔄𝔠 | om την o | εκχεειτε αυτο] αυτω εκχεειτε g: αυτο εκχεειται Θn | εκχεειτε] ει ex corr l: εκχεειται o: εκχεητε hkb$_2$: εκχεατε m: εκχεεις b'w: εκχεης *b*: om 𝔏 | αυτω c | ως] ωσει btw

17 δυνησῃ] *audebis* 𝔄 | εν—σου 1° post σιτου m | ταις] pr πασαις dpt𝔠𝔈 Eus | om σου 1° 𝔏 Eus | τα επιδεκατα Thdt | ⟨επιλεκτον 71⟩ | om σου 2° ejmsvz | και 1°] *neque* ℙ | του 2°] pr το επιδεκατον u | om σου 3° ejz𝔏 Eus | και 2°] *neque* ℙ | om τα—ευχας dp | om τα—σου 6° f | τα] pr και Nm𝔈𝔏: pr *neque* ℙ | om σου 6° 𝔄-ed 𝔏 | ⟨om και πασας ευχας 73⟩ | om και 4° ejsvz | ευχας BAMahkry] τας ευχας σου cejstvza$_2$ Eus Cyr-cod: *orationes uestras* 𝔏: τας εντολας f: +σου G(sub ⁂) oxℙ: pr τας FNΘ rell Cyr-ed | οσας] bis scr c: οσα 1*a$_2$b$_2$: *et omnia quae* ℙ | εαν bcrwxa$_2$ | ευξησθε] ευχησθε bw: κεξησθε f: ευξη Cyr-ed | om και 5° A | των 3°—(18) η εναντι sup ras et in mg A[a](om των χειρων σου A* uid) | om των χειρων e | σου 7° B𝔏 Cyr-cod] υμων A[a]FGMNΘ omn 𝔄𝔅𝔠𝔈ℙ Eus Cyr-ed

18 αλλ η] *alibi sed* 𝔏 | εναντιον 1° BGNbcoqw Eus Cyr-ed] εναντι A[a]FMΘ rell Cyr-cod | om του θεου σου 1° v | om του 1° sz | σου 1°] υμων u: om Θ | φαγη] pr *et* ℙ: post κυριος m | αυτο Bf𝔄𝔈 Cyr-ed] om m Cyr-cod: αυτα AFGMNΘ rell 𝔅𝔠𝔏ℙ Eus | om εν 1°—αυτω c | τω—αν 1°] ω αν τοπω Eus | om τω b'ejnrwz Cyr-cod | ω] ο n: ων a$_2$: ου AFGMNafilmoq rsuv(txt)zb$_2$ Cyr-cod | αν 1°] εαν Gabelorsv(txt)wz | κυριος—σου 2° post αυτω ℙ | om ο θεος σου m | σου 2°] υμων u: om 𝔄 | αυτω] pr εν Θbdgnptuw: εαυτω Eus: αυτον F[b]l: *ibi* 𝔏: *tibi* 𝔠: om k𝔈 | ο υιος] οι υιοι FNej–moszb$_2$𝔠𝔈 Eus Cyr: om ο r*t | om και 2°—σου 5° f | η θυγατηρ] *filiae* 𝔠 | om σου 4° y | om ο 3°—σου 6° F*(hab F[1 mg])cm | ο 3°] pr και x𝔠𝔈𝔏ℙ Cyr | om σου 5° 𝔏 | και 4°] pr και ο λευιτης σου q: pr και ο λευιτης AFMabfhiklorwyb$_2$ Cyr: pr ο λευτης N | προσηλυτος] λευιτης dpt | om ο 5° e | εν ταις πολεσιν] *in ciuitate* 𝔈𝔏 | υμων Bbuw𝔈] σου AFGMNΘ rell 𝔄𝔅𝔠𝔏ℙ Eus Cyr | εναντιον 2° Bbeo Cyr] εναντι AFGMNΘ rell | om κυριου 2° m | επι παντα ου] οις mv(mg) | επι παντα] *per omnia* 𝔏: *in omni* 𝔈 | παν Ny | ου] οσα uz(mg)a$_2$ Cyr-cod | αν 2°] εαν AG[b]Θabceg–jloqsv(txt)wz(txt) | επιβαλλης c | om σου 8° i

19 προσεχε] pr και b'𝔈 | αυτω f | μη] +ποτε G(sub ⁂)cd optx | ενκαταλιπης] εγκαταλειπης AFGMΘbcghjlnruvwya$_2$b$_2$: ⟨καταλιπης 64⟩: καταλειπης a | παντα—εαν] οσον αν χρονον A | om τον 2° bw | χρονον] +σου dpt𝔄 | οσον] ος a$_2$: ον hiuv(mg) z(mg)b$_2$: om f | εαν] αν MNacdfhikmnqruv(mg)yz(mg)b$_2$: om

15 κατα την ευλογιαν] ως ευλογιαν k
17 του σιτου σου] ο' σ' θ' του σιτου σου α' χευματος σου v | και πασας ευχας] ο' λ̊ και πασας ευχας σου v
18 κυριου 1°—σου 1°] ο' λ̊ κῡ θῡ σου v | πολεσιν] α' πυλαις M
19 οσον εαν ζης] ο' οσον εαν ζης vz(sine nom)

B ἐπὶ τῆς γῆς. 20 Ἐὰν δὲ ἐμπλατύνῃ Κύριος ὁ θεός σου τὰ ὅριά σου καθάπερ ἐλάλησέν σοι, 20
καὶ ἐρεῖς Φάγομαι κρέα· ἐὰν ἐπιθυμήσῃ ἡ ψυχή σου ὥστε φαγεῖν κρέα, ἐν πάσῃ ἐπιθυμίᾳ τῆς
ψυχῆς σου φάγῃ κρέα. 21 ἐὰν δὲ μακρὰν ἀπέχῃ σου ὁ τόπος ὃν ἂν ἐκλέξηται Κύριος ὁ θεός σου 21
ἐκεῖ ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ, καὶ θύσεις ἀπὸ τῶν βοῶν σου καὶ ἀπὸ τῶν προβάτων σου, ὧν
ἂν δῷ ὁ θεός σοι, ὃν τρόπον ἐνετειλάμην σοι, καὶ φάγῃ ἐν ταῖς πόλεσίν σου κατὰ τὴν ἐπιθυμίαν
τῆς ψυχῆς σου· 22 ὡς ἔσθεται ἡ δορκὰς καὶ ἡ ἔλαφος, οὕτως φάγῃ αὐτό· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ 22
ὁ καθαρὸς ὡσαύτως ἔδεται. 23 πρόσεχε ἰσχυρῶς τοῦ μὴ φαγεῖν αἷμα, ὅτι αἷμα αὐτοῦ ψυχή· οὐ 23
βρωθήσεται ἡ ψυχὴ μετὰ τῶν κρεῶν· 24 οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ· 25 οὐ 24 25
¶ ⲡ[1] φάγῃ αὐτό, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ¶ σέ, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν
ἐναντίον Κυρίου τοῦ θεοῦ σου. 26 πλὴν τὰ ἅγιά σου, ἐὰν γένηταί σοι, καὶ τὰς εὐχάς σου λαβὼν 26
ἥξεις εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος ὁ θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ· 27 καὶ 27
ποιήσεις τὰ ὁλοκαυτώματά σου· †τὰ κρέα ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ θεοῦ σου,
τὸ δὲ αἷμα τῶν θυσιῶν σου προσχεεῖς πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου Κυρίου τοῦ θεοῦ σου,†

20 ορεια B | επιθυμησει A
22 εσθετε B*(-ται B^ab)AF*
26 σου 3°] +αυτον B^ab
27 om τα 2°—σου 4° B

AFGMNΘa–b₂𝔄𝔅ℭ𝔈𝔏(ⲡ[1])

Fejlsv(txt)z(txt) | ζης] ζηση u: ζησει N: ζησης m: ζη Aax Cyr: ζητε y | γης] +σου dejpstvz

20 εμπλατυνη] εκπλατυνη m: πλατυνη f | κυριος—σου 1° post σου 2° a₂ | om κυριος e | om σου 1° a | σοι] pr εν ejsz: *tecum* 𝔏 | ερεις] ειπης AGM(txt)Θacdgn–rtuxyz(mg)a₂𝔄(uid) 𝔏 | φαγωμαι egn | κρεα 1°] +ο ακαθαρτος εν σοι και ο καθαρος ωσαυτως εδονται (φαγεται 73) αυτο j^a ⟨73⟩ | om εαν 2°—κρεα 2° b′ | επιθυμη fhi | σου 3°] *mea* 𝔅 | om ωστε—σου 4° c | ωστε φαγειν κρεα] *facere* ℭ | om ωστε u | φαγειν] φαγη i* (uid) | εν—σου 4° post κρεα 3° m | της ψυχης σου] αυτης n | om της m | ψυχης] καρδιας A | φαγη κρεα] ⟨om 71⟩: om κρεα n

21 μακραν Bdptv(mg)] μικροτερον c: μακροτερον AFGMN Θv(txt) rell 𝔄𝔏 | απεχη σου] post τοπος f: σου απεχη bw: αποσχη σου ox: σου αποσχη G: απεχη απο σου dpt: om σου 𝔈𝔏 | om ον 1° G* | αν 1°] εαν Gbouwx: om f | σου 2°] αυτον y: om mna₂ | εκει B] post αυτου A^a²(αυτου εκει sup ras) FGMNΘ omn 𝔄𝔅ℭ𝔈𝔏ⲡ: om A*(uid) | ⟨αυτου] pr του κυριου 30⟩ | θυσεις] θησεις o: θυσης Gm𝔄(uid): θυσιας Θ | om σου 3° f | απο των προβατων] *ab omnibus ouibus* ⲡ | om σου 4° d | ων—σοι 1°] *quae Dominus Deus tuus dabit tibi* ℭ: om F*^uid(hab F^1mg) | ων] ον mb₂: ως AΘ: *quod* 𝔏 | αν 2°] εαν Gb′coux | δω] δωη ejsz: ⟨δωσει 130⟩ | ο θεος σοι B𝔏] pr κς dkptx: σοι ο θς Θgn 𝔄-ed: ο θς σου F^1mgG^bNfilrb₂: κς ο θς σου c: σοι ο θς σου AMahyⲡ: σοι κς ο θς bw𝔄-codd: om σοι G*mo: σοι κς ο θς σου rell 𝔅𝔈 | ενετειλατο Nbuwa₂𝔅ℭ𝔏ⲡ | σοι 2°] +κς bw | om και 3° 𝔄 | φαγη] +τι ⲡ | ταις] τοις F^b | om κατα—σου 6° i* | κατα] και f | την] pr πασαν G(sub ✻)coptx: πασαν d | της ψυχης σου] σου ολοψυχος c

